ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ

ΠΑΡΑΣΚΕΥΗΣ

Ψαλλομένη τῇ 6 Ἰουλίου

Ἐκδοθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι

ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ

Ἐν ἔτει 1929

Ἐμαρτύρησε ἡ Ἁγία Παρασκευὴ ἐν ἔτει 140 μ. Χ.

ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΙΩΑΝΝΟΥ ΚΑΙ ΑΝΤΩΝΙΑΣ ΠΑΠΑΔΡΑΤΟΥ

Μακάριος ὁ ποιῶν τὰ ἔργα τοῦ Κυρίου ἀμε[ν]. (Ἱερεμ.)

Μακάριος ἀνὴρ παντὶ λόγῳ πιστεύει.

Ἡ πολὺ ἰσχύον δέησις δικαίου ἐνεργουμένη

Μεγαλυνάριον τῆς Ἁγίας.

Ἡ [ἀ]στος ῥι[ζ]ωθεῖσα τίσματι φλογερῷ σβέσασα τὰς κό[ρ]ας τῶν πυρά[νν]ων Παρασκευή, πρὸς λουτρὸν δροσῶ[δ]ες ἐκπέμπεις, φωτισαμένη κόρας ψυ[χ]ῶν τε καὶ σωμάτων.

ΓΕΩΡΓΙΟΣ ΒΟΥΤΕΡΗΣ Ἱερεὺς

1929.

χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες. Ἁγία τοῦ Θεοῦ.

Ἀγγέλου, παρουσίᾳ τοῖς στέρνοις τεθεῖσάν σοι, μεγίστην πάνσεμνε πλάκα, καὶ χειρῶν τοὺς ἥλους ἔνδοξε μάρτυς, ὁ Δεσπότης ροπῇ θείᾳ θᾶττον ἠφάνισε.

Νέαν σε πρωτομάρτυρα Θέκλαν δοξάζομεν, οἷα κηρύξασαν πᾶσι καὶ πολλοὺς φωτίζουσαν θείῳ λόγῳ καὶ ἀπίστους, πρὸς τὴν ἔνθεον πίστιν ρυθμίζουσαν. Δόξα.

Ἔρρει σου τῶν ἐνθέων δογμάτων ὁ σύλλογος, μελιστάγων ἐκ τῶν χειλέων, καὶ τὴν γνῶσιν πάντα διδάσκουσα παρρησίαν Παρασκευὴ Μαρτύρων ἀγλάϊσμα. Θεοτοκ.

Ὦ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότεροι ὅτι Παρθένος ἐν μήτρα. τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Κοντάκιον Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸν Ναόν σουπάνσεμνε, ὡς ἰατρεῖον ψυχικὸν εὑράμενοι ἐν τούτῳ πάντες οἱ πιστοί μεγαλοφώνως τιμῶμέν σέ. Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Ὁ Οἶκος

Ἡ τοῦ νυμφίου σὲ φωνὴ καλέσασα ὡς νύμφην, στεφάνῳ ἀφθαρσίας ἐκόσμησε, Θεόφρον Παρασκευή, πανευκλῆς, καὶ μετὰ ἀθληφόρων καὶ Μαρτύρων τῶν σεπτῶν ἀξίως συνηρίθμησε. μεθ'

ὧν εὐφραινομένη μέμνησο τῶν ἐκτελούντων τὴν ἁγίαν Ἑορτήν σου. καὶ συνελθέντων ἔνδον τοῦ Ναοῦ σου. ἐν αὐτῷ γαρ νυνὶ παρεστῶτες. ἀπὸ ψυχῆς προσφέρομέν σοι τοὺς ὕμνους, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Τῇ Κς'. τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας Ὁσιομάρτυρος τοῦ Χριστοῦ Παρασκεῆς.

Στιχ Θεῷ παρασκεύασας ἁγνὸν εἰς δρόμον.
Σαυτὴν ἄγουσα, σεμνή, εἰς κατοικίαν.
Παρασκευὴν ἔκτεινον εἰκάδι χαλκὸς ἐν ἕκτῃ.

Τῇ αὐτῇ ἡμέρα τοῦ Ἁγ. Ἱερομάρτυρος Ἑρμολαίου καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων Ἑρμίπου καὶ Ἑρμοκράτους. Μνήμη τῆς ἁγίας μάρτυρος Ὡραιοζήλης Ὁ Ὅσιος Ἰγνάτιος ὁ Στειρωνίτης ἐν εἰρήνῃ τελειοῦται Ὁ Ἅγιος μάρτυς Ἀππίων ξίφει τελειοῦται. Ἡ Ἁγίας μάρτυς Ἱερουσαλὴμ ξίφει τελειοῦνται Τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Μιχαὴλ πέραν ἐν σκάλαις Τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Γαβριὴλ πέραν ἐν Χάλδαις Ἡ σύναξις τῆς Θεοτόκου πέραν ἐν Πηγαδίῳ. Τοῦ ὁσίου Γεροντίου. Ἡ ἀνάμνησις τῆς Ἁγίας Παρασκευῆς ἐν Χίῳ Ταῖς αὐτῶν Ἁγίων καὶ τῆς Θεοτότου πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς ἀμήν.

Κατάλυσις οἴνου καὶ ἐλαίου.
Ὠδὴ ζ'. Καταβασ.

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες παρὲ

ΕΝΑΡΕΤΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΜΟΝΗ ΠΑΤΕΡΩΝ ΑΓΙΟΡΕΙΤΩΝ ΓΡΗΓΟΡΙΟΥ ΠΑΠΑΣΤΕΡΙΟΥ

τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὑπὸ Κυρίου σὺ φρουρουμένη, πρὸ βήματος, Μάρτυς, μηχανὰς ἔστεγες καρτερῶς φλεγομένη καὶ ὑπέψαλλες· εὐλογητὸς εἶ ὁ Θεὸς μου βοῶσα καὶ Κύριος.

Φλέξαν μηδόλως, τοὺς παρανόμους καίει μᾶλλον τὸ πῦρ, Κόρη, ὁ Χριστὸς φυλάττει σὲ ἀβλαβῆ. κοθὼς πάλαι διεσώσατο, πυρὸς τοῦ βρέμοντος ἀδαεῖς Νεανίας χειρὶ κραταιᾷ.

Ἤπειρον πᾶσαν σαφῶς καὶ πόλιν μὴ τεκτηνάμενοι, ὄντως τὰ δαιμονιαξόανα καὶ θεοί, ἀπολέσθωσαν ἐκραυγαζε. Χριστὸς ὁ Κύριος πλαστουργὸς ἔστι πάντων ἐκήρυττες.

Θεοτοκίον.

Τῷ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

Αἰνοῦμεν εὐλογοῦμεν. Ὠδή, η'. Καταβ.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος νῦν δὲ ἐνεργούμενος τὴν οἰκουμένην ἅπασα, ἐγείρει ψάλλειν σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας αἰῶνας.

Τῆς Ἁγίας Χειρὸς ἐκπετάσας Δανιήλ.

Οὐκ ὄντως θεούς ἐλλὰ ψευδῆ δαιμόνων φάσματα, Μάρτυς ἀπέδειξας καὶ καταδάφισας τέλεον καὶ εἰς τέλος κατελέπτυνας ἐν εὐφροσύνῃ τῷ Χριστῷ ἀπαύστως μέλπουσα, εὐλογεῖται παντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ναοῦ δυνηθέντος ἐπὶ γῆς, ἐπιφοιτέσει σεμνῇ Ἀπόλλων πέπτωκε, καὶ καντηκόντισαι ξόανα, ἐνεργεια τοῦ ἀχράντου Σταυροῦ δι οὗ φραχθεῖσα μιστικῶς, ἐν παρρησία πολλῇ ἀνεβόας· παντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Κάλλους καὶ τοῦ πόθου σου Χριστέ, Παρασευὴ ἡ Ἁγνή, τρωθεῖσα ἔφερε πυρὸς τὴν ἔκκαυσιν κράζουσα· εἰς ὀσμὴν τοῦ θείου μύρου σου, νοῦν συναθλοῦσα καρτερῶς δραμοῦμαι ἄληκτα, σοῦ ὀπίσω, εὐλογοῦσα τὸ θεῖόν σου ὄνομα.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς θεότητος γέγονας, ἐ διαίτημα πανάμωμε, φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδή, θ'. Καταβασ.

Απας γηγενής, σκιρτάτῳ τῷ πνεύματι, λαμπαδοχούμενος, πανηγυριζέτω δε, ἀΰλων Νόων, φύσις γεραίρουσα τὰ ἱερὰ θαυμάσια τῆς Θεομή-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΕΥΑΓΓΕΛΟΣ ΚΑΡΑΤΖΑΣ ΕΠΙΤΡΟΠΟΣ ΔΙΑΚΟΣΜΗΤΗΣ
ΕΚΠΑΙΔΕΥΤΗΡΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

τορος, καὶ βοάτω. Χαίροις παμμακάριστε Θεοτόκε Ἁγνὴ ἀειπαρθένε.

Τῆς Ἁγίας Λίθος ἀχειροτμήτος.

Ρευστῆς βιωτῆς καὶ προσκαίρου, Μάρτυς, τὴν μέλλουσαν ἠλλάξω, τὸ ἀμήχανον ὁρᾶν τοῦ σοῦ Νυμφίου ἐπειγομένη τρανῶς ὄθεν στεφάνων ἔτυχες, τῶν ἀκηράτων καλλιπάρθενε.

Ακούσασα φωνῆς βεβαιούσης Παρασκευὴ σοῦ τὰς αἰτήσεις θείας οὐρανόθεν καὶ τὸν δρόμον, προθύμως Μάρτυς σεμνὴ διήνυσας. καὶ πρὸς αὐτὸν ἀνέδραμες, κάραν τμηθεῖσα τὴν ἐρίτιμον. Δόξα.

Νίκην κατ' ἐχθρῶν δωρηθῆναι Παρασκευὴ Χριστὸν ἐξαίτει πᾶσι τοῖς τῷ θείῳ Ναῷ σου. προσερχομένοις ἐν θερμοτάτῃ πίστει καὶ τῶν πταισμάτων ἄφεσιν καὶ τῶν δεινῶν τὴ ἀπολύτρωσιν,

Θεοτοκίον.

Ωφθης Χερουβὶμ ἀνωτέρα καὶ οὐρανῶν ὑψηλοτέρα, ἄχραντε παρθένε Μαρία, βουλῆς μεγάλης Ἄγγελον τέξασα τὸν τῷ Πατρὶ ἁπάντων ἐλευσόμενον.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητι.

Ρωσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος ἀθλοῦσα Μάρτυς γενναίως. καὶ πρὸς Χριστοῦ ἀπείληφας, βραβεῖα νίκης πάνσοφε, Παρασκευὴ πανθαύμαστε, ὑπὲρ ὑμῶν δυσωποῦσα τῶν σὲ τιμώντων ἐκ πόθου

Ὅμοιον

Μαρτύρων τὸ ἀγλάϊσμα, Παρθένων σεμνοπρέπεια, νύμφη Χριστοῦ σεμνοτάτη, Παρασκευὴ ἀθ' ηφόρε, σορῷ τῇ τῶν λειψάνων σου ταῖς ἱεραῖς πρεσβείαις σου, τοῖς προσιοῦσι δώρησαι ἡμῖν τὰς ἰάσεις ἡ πρὸς Θεὸν ἀναπτᾶσα.

Θεοτοκ.

Μαρία καθαρώτατον χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου δοχεῖον Τριάδος γεγεννημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς αἴνους ψάλλ Στιχηρὰ προσόμ γ' δευτεροῦντες τὸ πρῶτον. Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων

Εν ταῖς αὐλαῖς τοῦ Κυρίου, χορεβατοῦσα σεμνή, ἅμα Παρθένος Μάρτυς, ταῖς φρονίμοις ἐκείναις ἐκεῖθεν ἐκομίσω χάριν σοφή τοῦ ἰᾶσθαι νοσήματα καὶ ἐκδιώκει τὰ πνεύματα μυσαρά, ἐκ τῶν πίστει προσιόντων σοι.

Ρήξασα κράτος τυράννων ἀθεωτάτων σεμνή, καὶ πρὸς Θεὸν τάς βάσεις ἀναθεῖσα παρθένε, οὐδόλως ἐπτοήθης οὔτε κρουσμόν, μολυβδίνων σφυρῶν οὔτε πῦρ οὔτε ξεσμοὺς τῶν σαρκῶν σοῦ οὔτε βρασμὸν τὸν λεβήτων οὔτε ξίφους σφαγήν.

Ασκήσειν πρώην τὸ σῶμα, τέξασα ἔνδοξε, τὸ δεύτερον ἀθλήσει, στομωθεῖσα τὴν φρένα, τοῖς

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΡΑΤΗΣ

πᾶσιν ἀνεδείχθης Μάρτυς Χριστοῦ οὐρανοχάλευτον φάσγανον ὥσπερ χρυσὸς ἐν χωνείᾳ δοκιμασθείς, ταῖς οἰκίαις καλλιπάρθενε.

Δόξα ἦχος πλ. α'.

Σήμερον ἡμέραν ὑπέρλαμπρον, καὶ ἔαρ πανευφρόνυνον ἀνέτειλε τοῖς πέρασιν, ἡ πάνσεμνος πανήγυρις τῆς ἀθληφόρου λαμπρύνουσα τῶν εὐσεβῶν τὰς καρδίας, τοῖς θαύμασιν ὡς ἄνθεσι, τοὺ πιστοὺς εὐδιάζουσα. Δεῦτε οὖν ἅπαντες πιστοὶ εὐφρανθῶμεν τῷ πνεύματι, καὶ τὰς χεῖρας κροτήσωμεν, ἐπὶ τῇ λαμπρᾷ καὶ σεβασμίᾳ μνήμῃ τῆς μάρτυρος Παρασκευῆς, καὶ τοῖς ἄνθεσι τῶν ἐγκωμίων τούτων καταστέψωμεν. οὕτω βοῶντες, Χαίροις Παρασκευὴ καλλιπάρθενε κόρη. Χαῖρε νύμφη τοῦ Χριστοῦ. Χαίροις ἡ τῶν Ἑλλήνων τὰ ἀπύλωτα στόματα, ὡς ἄφωνους ἀποδείξασα ἰχθύας, καὶ τὴν ἄνοιαν αὐτῶν ἐναντίον Ἀντωνίνου τοῦ δυσεβοῦς ἐλέγξασά καὶ κηρύξασαν Χριστὸν τὸν Θεὸν, τὸ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Μακαρίζομε σὲ Δοξολογία καὶ ἀπολυσις.

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον Ἦχος βαρύς.
Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ;
Στίχ. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω
Πρὸς Τιμόθεον Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Τέκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ τάχιον· ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶ ἐκκλησία Θεοῦ ζῶντος στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι ὤφθη Ἀγγέλοις ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ ἀνελήφθη ἐν δόξῃ Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστεροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. Ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων·

παραδώσουσι γὰρ ὑμᾶς εἰς συνεδρία, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσητε οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον. καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖ, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομα μου· ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Ἔστε δίκαιος

ΜΕΓΑΛΥΝΑΡΙΑ

Τῆς Οσιομάρτυρος θαυμαστὴν καὶ σεπτὴν Εἰκόνα, προσκυνήσωμεν ἀδελφοί, θαύματα τελοῦσαν καὶ βρύουσαν ἰάσεις, καὶ ταύτην μετὰ πόθου κατασπασώμεθα.

Ἔχοντες Εἰκόνα σου τὴν σεπτήν, ὦ παρθενομάρτυς ὡς προπύργιον, ὀχυρὸν προσφεύγωμεν ταύτῃ καιρῷ τῷ ἐν κινδύνοις, καὶ ἐπηρείας τούτων ἀπολυτρούμεθα,

Πάρεσο προστάτις μάρτυς Χριστοῦ πρὸς πάντας τοὺς τιμῶντας τὴν σεπτήν σου τὴν ἑορτήν, καὶ ἐκ βλάβης πάσης. πάντας ἡμᾶς ῥῦσαι, Παρασκευὴ ὁσία καὶ τοὺς φιλοῦντάς σε.

ΒΙΟΣ ΣΥΝΤΟΜΟΣ

ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΜΑΡΤ. ΤΟΥ ΧΡΙΣΤΟΥ

ΠΑΡΑΣΚΕΥΗΣ

Ἀντὶ τοῦ Κοινωνικοῦ. Εὐλόγησον Πάτερ
Δι' εὐχῶν τῶν Ἁγίων.

Ψαλλομένη τῇ 26 Ἰουλίου

Ἡ Ἁγία καὶ ἔνδοξος Ὁσιομάρτυς τοῦ Χριστοῦ Παρασκευὴ ἦτο ἐκ Κώμης τινὸς τῆς Ρώμης, ἐγεννήθη ἐκ γονέων εὐσεβῶν Ἀγάθωνος καὶ Πολυτείας ἐν ἡμέρᾳ Παρασκευῇ τῆς ἑβδομάδος καὶ ἐξ αὐτῆς ἔλαβε καὶ τὸ ὄνομα Παρασκευή. Παιδιόθεν εἶχε κλῆσιν εἰς τὰ ἱερὰ γράμματα καὶ κατεγίνετο πάντοτε εἰς τὴν μελέτην τῶν Θείων γραφῶν, διάγουσα μοναδικὸν βίον, καὶ ὁδηγοῦσα πολλοὺς εἰς τὴν Ὀρθόδοξον πίστιν.

Ἠγάπα πολὺ τὴν παρθενίαν πρὸς μίμησιν τῆς Ὑπεραγίας Θεοτόκου, ἀπὸ τὴν Ἐκκλησίαν δὲν ἔλειψε ποτὲ τὸ βιβλίον ἦτο πάντοτε εἰς χεῖρας της, εἶχε δὲ καὶ καλὴν ἀνατροφὴν ἐκ τῆς μητρός της, ἀλλὰ ἦτο καὶ φύσει συμπαθὴς καὶ ἀξιαγάπητος τοῖς πᾶσι, καθότι δὲν ἐξῆλθε ποτὲ ἔξω τῆς οἰκίας της ὡς συμβαίνει τὴν σήμερον εἰς τὰ κοράσια περιπάτους καὶ παιγνίδια νὰ ἀσχολεῖται εἰςἀργολογίας καὶ μωρολογίας ἐκ

τοῦ στόματός της ; ἀλλὰ προσευχὴ καὶ δέησις ἡμέραν τε καὶ νύκτα λατρεύουσα τὸν πλάστην Θεόν.

Ὅταν ἔγεινε 20 ἐτῶν ἀπέθανον οἱ γονεῖς της, καὶ ἔμεινεν ὁ πολὺς βίος εἰς χεῖρας της, καὶ παρευθὺς τὰ ἐμοίρασεν εἰς τοὺς πτωχούς, ζητῶν τὸν οὐράνιον θησαυρὸν ἐν τοῖς οὐρανοῖς :

Ἔπειτα ἐπῆγεν εἰς Παρθενῶνα, μὲ ἄλλας Παρθένους δουλεύουσα τῷ Θεῷ καὶ τῇ Προεστώσῃ ἐν πάσῃ ὑποταγῇ καὶ σεμνότητι, ἐπὶ ἱκανὸν καιρόν. Ἔχων δὲ ζῆλον νὰ μαρτυρήσῃ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, λαβὼν τὴν Εὐχὴν τῆς Ἡγουμένης, ἐξῆλθεν ἐκ τῆς μονῆς κηρύττουσα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπου ἔγεινε γνωστὸν τοῖς πᾶσι διότι ὑπέστρεφον πολλοὶ τῶν Ἑλλήνων καὶ Ἰουδαίων εἰς τὴν Ὀρθόδοξον πίστιν ὧν τινὲς φανατικοὶ ἐξ αὐτῶν ἐσκανδαλίσθησαν βλέποντες ἀτιμαζομένην καὶ ὑβριζομένην τὴν θρησκείαν των, ὅπου προσῆλθον τῷ βασιλεῖ Ἀντωνίνῳ καὶ διέβαλον τὴν Ἁγίαν, πῶς κηρύττει τὸν Ἐσταυρωμένον Ἰησοῦν ὡς Θεὸν ἀληθῆ ὄν, καὶ οἱ Θεοί των εἶναι ξύλα κωφὰ καὶ ἀναίσθητα, καὶ οἱ προσκυνοῦντες εἶναι ὅμοιοι αὐτῶν.

Ἀμέσως ὁ Βασιλεὺς Ἀντωνῖνος, μετὰ μεγάλου θυμοῦ καὶ ὀργῆς καλεῖ τὴν Ἁγίαν εἰς ἀπολογίαν, καταπραΰνων τὴν λύπην του καὶ ἤρχισε μὲ κωλακείας καὶ δωρήματα συμβουλεύων νὰ

θυσιάσῃ τοῖς ἀναισθήτοις Θεοῖς, λέγων λυποῦμε τὴν εὐμορφιάν σου ἐπαινῶ καὶ θαυμάζω τὰς γνώσεις σου, καὶ θέλεις λάβει πολλὰς δωρεᾶς, καὶ ἄλλα δῶρα ὅτι εἰς μάτην τὰ ἐκοπίαζεν ὁ ἀνόητος Βασιλεὺς διὰ νὰ πάσῃ τὴν Ἁγίαν.

Ὅπου τὰ λεγόμενα ταῦτα οὐδεμίαν σημασίαν ἔδωσαν εἰς τὴν Ἁγίαν λέγων ἐνώπιον πάντων, οὐδέποτε θέλω ἀρνηθῆ τὸν γλυκύτατόν μου Ἰησοῦν Χριστόν, ἀμέσως διέταξε περικεφαλαίαν καὶ τὴν ἔκαψαν ἐπὶ πολλὴν ὥραν καὶ τὴν ἔβαλαν εἰς τὴν κεφαλὴν τῆς Ἁγίας καὶ ἠθάνετο ψυχρὰν δρόσον, ὅπου πολλοὶ ἐπίστευσαν βλέποντες τὸ παράδοξον θαῦμα τῆς Ἁγίας : Μετὰ τὴν ἔβαλαν εἰς τὸ δεσμωτήριον, καὶ ἐφάνη Ἄγγελος Κυρίου τὸ μεσονύκτιον δίδων τὸν Σταυρὸν τοῦ Κυρίου μὲ κάλαμον καὶ σπόγγον καὶ Στέφανον λέγων. Χαίροις Παρασκευὴ ἀθληφόρε καὶ Μάρτυς Κυρίου μὴ φοβοῦ τὰς βασάνους τῶν τυράννων, διότι ὁ Κύριος εἶναι μετὰ σοῦ. Μετὰ τὴν ἔβαλαν εἰς χάλκωμα μὲ πίσσαν καὶ ἔλαιον, καὶ γεμίσασα τὰς δύο της χεῖρας ἔρριψε εἰς τὸ πρόσωπον τοῦ Βασιλέως, καὶ ἐτυφλώθη, ὅπου καὶ τὸν ἰάτρευσε. Μετὰ τὴν κατέπεισαν νὰ προσκυνήσῃ τὰ εἴδωλα καὶ εἰσελθοῦσα εἰς τὸν βωμόν. Τὰ ἔκαμε εἰς λεπτὰ τεμάχια, λέγων, πῶς στέκεσθαι ἔμπροσθέν μου ἀνόητοι Θεοί, λέγοντες, ἡμεῖς γελοῦμεν τοὺς ἀνθρώπους καὶ

ΕΚΔΟΤΗΣ ΕΥΑΓΓΕΛΙΚΟΣ ΒΙΒΛΙΟΠΩΛΕΙΟΣ ΕΠΙΜΕΛΗΤΗΣ ΕΚΔΟΤΗΣ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

μᾶς προσκυνοῦν ὡς Θεούς. Εἷς ὁ Θεός, ὅπου προσκυνᾶς, εἶναι ὁ ἀληθὴς καὶ ἐξουσιαστὴς τοῦ σύμπαντος, ἡμεῖς εἴμεθα Ἄγγελοι καὶ διὰ τὴν ὑπερηφάνειάν μας, ἐγίναμεν διάβολοι. Ἀμέσως ὥρμησαν ὡς λέοντες κατὰ τῆς Ἁγίας... Παρασκευὴν τὴν ὑβρίστριαν τῶν μεγάλων Θεῶν προστάσω νὰ κόψετε τὴν μιαρήν της κεφαλήν.

Παραλαβόντες οἱ στρατιῶται τὴν Ἁγίαν ἐξήγαγον ἔξω τῆς πόλεως νὰ τὴν ἀποκεφαλίσουν.

ΠΡΟΣΕΥΧΗ ΤΗΣ ΑΓΙΑΣ

Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ καὶ Λόγε τοῦ ἀθανάτου Πατρός, ὅπου ἐκατέβης εἰς τὴν γῆν ἀπὸ τοὺς οὐρανοὺς διὰ τὴν ἰδικήν μας σωτηρίαν, ἐνδυνάμωσόν με νὰ μαρτυρήσω διὰ τὴν ἀγάπην σου ἀξίωσόν με τῆς βασιλείας σου, καὶ παρέλαβε τὴν ταπεινήν μου ψυχήν, μετὰ τῶν φρονίμων Παρθένων, καὶ ἀντάμειψον, τῶν ἐπιτελούντων τὴν μνήμην τῆς ἐμῆς τελειώσεως, ἡ κούσθη φωνὴ ἀοράτως λέγουσα. Ἐπίκουσα Παρασκευὴ τῆς δεήσεώς σου, κλίνασα τὴν κεφαλὴν ἀπετμήθη, καὶ ἀπῆλθε ἡ ὁλόφωτος αὐτῆς ψυχὴ εἰς τὰς αἰωνίους μονὰς εἰς τὸν χορὸν τῶν Ἀγγέλων τὸ 148 μ Χ. Πρεβείαις τῆς Ἁγίας καὶ πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου. Γένοιτο.

25 Ἰουλίου. Ἡ κοίμησις τῆς Ἁγίας Ἄννης Μητρὸς της Θεοτόκου. Ἀπολ Ἦχος Δ΄.

Ζωὴν τὴν κυήσασαν ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα θεόφρον Ἄννα διὸ πρὸς λῆξιν οὐράνιον ἔνθα εὐφραινομένων κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη ἱλασμὸν ἀειμακάριστε.

Κοντάκιον Ἦχος Β΄. Τὰ ἄνω ζητῶν.

Προγόνων Χριστοῦ, τὴν μνήμην ἑορτάσωμεν, τὴν τούτως πιστῶς, αἰτούμενοι βοήθειαν, τοῦ ρυσθῆναι ἅπαντας, ἀπὸ πάσης θλίψεως τοὺς κράζοντας. Ὁ Θεὸς γενοῦ μεθ' ἡμῶν, ὁ τούτοις δοξάσας, ὡς εὐδόκησας.

Μεγαλυναριον.

Ζεῦγος ἁγιόλεκτον καὶ σεπτόν, ξυναρὶς τίμια, οἱ Προπάτορες τοῦ Χριστοῦ, ἦχος τῶν δικαίων, Ἰωακεὶμ καὶ Ἄννης, τῶν τὴν ἡμῶν τιμώντων μνήμην πρεῖτασθε.

Κοντάκιον λέγετε καθ' ὅλας τὰς ἡμέρας Κατάλυσις οἴνου καὶ ἐλαίου εἰς τὰς Τετάρτας καὶ Παρασκευὰς, πρὸς τιμὴν τῶν Θεοπατόρων.

25 Ἰουλίου. Τῆς Ὁσίας μητρὸς Εὐπραξίας Ἀπολ. Ἦχος Δ΄.

Ἐκ βρέφους ποθήσασα, τὸν σὸν νυμφίον Χριστόν, τὸν κόσμον κατέλιπες, καὶ τὰ τοῦ κό-

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΛΟΓΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΩΡΗΣ ΠΑΠΑΔΗΜΑΣ

σμου τερπνὰ καὶ ἠσκησας ἄριστα, ἄϋλον γὰρ ἐν ὕλῃ ἐπιδίξασα βίον εἴληφας Εὐπραξία, οὐρανῶν βασιλείαν, ἐν ᾗ νῦν αὐλιζομένη, μνήσθητι τῶν τιμώντων σε.

Κοντάκιον Ἦχ. Πλ. Δ'. Τῇ ὑπερμάχῳ.

Τὸν ὑπὲρ φύσιν σου σεμνὴ πόνους καὶ σκάμματα, αὐτοὶ οἱ Ἄγγελοι ἰδόντες κατεπλάγησαν· ἀνδρικῶς γὰρ τὸν ἀρχέκανον καθεῖλοῦσα, θρασυνόμενον ματαίως τοῦτον ἤλεγξας, τῶν παγίδων οὖν αὐτοῦ ἡμᾶς ἐκλύτρωσαι, τοὺς κραυγάζοντας· Χαίροις Μήτερ ἀοίδιμε.

Μεγαλυνάριον.

Ἰησοῦ Χριστέ μου Λόγε Θεοῦ, Υἱὲ Πατρὸς ζῶντος, ἱκεσίαις τῆς σῆς Μητρός, σὺν τῆς Εὐπραξίας, καὶ ὁσίων ἁπάντων, ἡμᾶς ἔργασαι οἴκους τοῦ Παρακλήτου σου.

Ἀκολουθία τῆς Ὁσίας Εὐπραξίας ἐν Ἀθήναις ἔτος 1874 Ἡγουμένης Εὐπραξίας μονῆς Δοκοῦ.

26 Τῶν Ἁγίων Μαρτύρων. Ἑρμολάου Ἑρμίππου καὶ Ἑρμοκράτους Ἀπολ Ἦχ. Πλ. Β'.

Ἀθλητικὸν ἀγῶνα, ὑπομείναντες οἱ Ἅγιοι Μάρτυρες καὶ τὰ βραβεῖα τῆς νίκης, παρὰ σοῦ κομισάμενοι κατήργησαν τὰς ἐπινοίας τῶν παρανόμων, ἐδέξαντο τοὺς στεφάνους τῆς ἀφθαρσίας, δι' αὐτῶν ὁ Θεός, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον Ἦχος Δ'.

Ἑωσφόρος ἔλαμψεν ἡ θεία μνήμη, τῆς σεπτῆς ἀθλήσεως, τῶν ἀθλοφόρων τοῦ Χριστοῦ, Ἑρμολάου Ἑρμίππου καὶ Ἑρμοκράτους τε, τῶν ἐν καρδίαις ἡμᾶς καταφαίδρυνε.

Μεγαλυνάριον.

Τοὺς γενναίους Μάρτυρας τοῦ Χριστοῦ, καὶ ἐνδόξους ἀθλοφόρους ἐπαινέσωμεν οἱ πιστοὶ Ἑρμόλαον τὸν θεῖον ὁμοῦ καὶ Ἑρμοκράτην, καὶ Ἑρμιππον τὸν μέγαν, πάντες τιμήσωμεν.

26 Τῆς Ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς. Ἀπ. Ἦχ. Α'.

Τὴν σπουδήν σου τὴν κλῆσιν κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν, εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ ἀθλοφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοντάκιον Ἦχ. Δ'. Ἐπεφάνης

Τὸν ναόν σου πάνσεμνε ὡς ἰατρεῖον ψυχικῶν εὑράμενοι, ἐν τούτῳ πάντες οἱ πιστοὶ μεγαλοφώνως τιμῶμεν σε, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Μεγαλυνάριον.

Λέβητος ῥαντίσματι φλογερῷ, ὀβέσασα τὰς κόρας τοῦ τυράννου Παρασκευή, πρὸς λουτρὸν

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΣΧΟΥ

δροσώδες, Βαπτίσματι ἐκπέμπεις, φωτισαμένη κόρας, ψυχῆς καὶ σώματος.

Ἀκολουθία Ἁγίας Παρασκευῆς Ἀθῆναι 1915.
27 Ἁγίου Παντελεήμονος Ἀπολ. Ἦχ. Α΄.

Μαρτύρων ἀγλάϊσμα, Παντελεήμων σοφέ, ἐδείχθης μακάριε θεραπευτὴς εὐμενὴς τοῖς πίστει προστρέχουσι· πόθῳ τῷ ἐν τῷ θείῳ καὶ πανσέπτῳ Ναῷ σου, ἰάσιν νοσημάτων καὶ παντοίων κινδύνων, παρέχων ἀεννάως ἀθλητὰ ταῖς ἱκεσίαις σου.

Ἕτερον. Ἦχ. Γ΄. Θείας πίστεως. (Α)

Θεῖον ἄωτον τῶν Ἀναργύρων, μάρτυς πέφηνας, ὡς πλέον τοῦτον, πρὸς Χριστοῦ πεπλουτικῶς, τὴν πανάκειαν· Θεουμία ὑψώθεν κεκόσμησαι, Παντελεήμον κληθεὶς ὡς οὐκ ἄλλος τις· γάλα κέχυται, τῇ σῇ σφαγῇ ἀντὶ αἵματος, λευκαῖνον τῶν πιστῶν τὰς ἀμαυρότητας.

Κοντάκιον Ἦχ. Πλ. Β΄.

Μιμητὴς ὑπάρχων τοῦ ἐλεήμονος, καὶ ἰαμάτων τὴν χάριν, παρ' αὐτοῦ κομισάμενος, ἀθλοφόρε καὶ Μάρτυς Χριστοῦ τοῦ Θεοῦ, ταῖς εὐχαῖς σου, τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον, ἀπειλάνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα, ἐκ τῶν βοώντων ἀπαύστως. Σῶσον ἡμᾶς Κύριε.

Μεγαλυνάριον.

Ῥύθρα ἰαμάτων ἐκ τῆς πηγῆς, χάριτι θαυμάτων, βρύα χρήζουσι δωρεάν, ὁ Παντελεήμων, ὁ πάνσοφος Ἀκέστωρ, οἱ ῥώσεως διψῶντες δεῦτε ἀρίσασθαι.

Ἀπολυτ. Ἁγίου Παντελεήμονος Μονῆς Ἰβήρων Ἀθῆναι 1862.

28 Τῶν Ἁγίων Ἀποστόλων, καὶ Διακόνων Προχόρου Νικάνορος Τίμωνος καὶ Παρμενᾶ.
Ἀπολ. Ἦχ. Πλ. Α΄.

Τοὺς Ἀποστόλους ἐν ὕμνοις ἀνεφυμήσωμεν, ὡς ὑπηρέτας τοῦ Λόγου καὶ Θείους κήρυκας, καὶ τῶν ἐθνῶν πνευματικοὺς σαγινευτὰς σαφῶς, ὅτι προσήγαγον ἡμᾶς, εἰς τὴν ἐπίγνωσιν Χριστοῦ, ῥυσάμενοι ἐκ τῆς πλάνης, τὸ γένος τὸ τῶν ἀνθρώπων, καὶ Βασιλείας κατηξίωσαν.

Κοντάκιον Ἦχ. Α΄. Τὸν Τάφον σου.

Δ'άκονοι σεπτοί, καὶ αὐτόπται τοῦ Λόγου, καὶ σκεύη εὐλογῆς, ἀνεδείχθητε πίστει, Νίκανορ καὶ Πρόχορε, Παρμενᾶ, Σίμων ἔνδοξε, σθεν σήμερον, τὴν ἱερὰν ἡμῶν μνήμην, ἑορτάζομεν ἐν εὐφροσύνῃ καρδίας ἡμᾶς μακαρίζοντες.

Μεγαλυνάριον.

Τὰς εὐήχους σάλπιγγας τοῦ Θεοῦ, νῦν τοὺς Ἀποστόλους, εὐφημήσωμεν οἱ πιστοί, τοὺς τὴν οἰκουμένην διδάσκοντες πιστεύειν, τὴν σάρκωσιν τοῦ Λόγου, καὶ τὴν Ἀνάστασιν.

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΒΙΒΛΙΟΘΗΚΟΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

1 Ἀκολ. Ἀποστόλ. Θωμᾶ. Κυριακὴ τοῦ Ἀντιπάσχα
2 Ἁγίας Εἰρήνης Μαΐου 5
3 Ἁγίας Κυριακῆς Ἰουλίου 7
4 Μὰρ Λογγίνου τοῦ Ἑκατοντάρχου Ὀκτωβ. 16
5 Ἁγ. Αἰμιλιανοῦ Ἰουλίου 18
6 Ἁγ. Πελαγίας Ὀκτωβ. 8
7 Ἁγ. Ἀντωνίου τοῦ Ἀθηναίου Φεβρ. 5
8 Ἁγ. Ζησίμου Ἰουνίου 9
9 Νικολάου τοῦ Νέου Μαΐου 9
10 Μεγαλομ. Νικήτα Σεπτέμ. 15
11 Ἁγ Θεράποντος Μαΐου 15 καὶ 27
12 Μεγαλομ. Φανουρίου τοῦ Νεοφανοῦς Αὐγ. 27
13 Ἀποστόλων καὶ Εὐαγγελιστοῦ Λουκᾶ Ὀκτώβ. 18
14 Ὁσιμάρ. Παρασκευῆς Ἰουλίου 26
15 Παράκλησις καὶ Χερετ Ἁγ. Διονυσίου Δεκ. 17
16 Χερετισμοὶ εἰς τοὺς Ἁγίους πάντας 3 Ἱεράρχας καὶ Ἁγ Ἰωάννην τὸν Θεολόγον
17 Κανόνες χρήσιμοι εἰς πάντας ἐκ τοῦ Ἱερ. Πηδ.
18 Διαφόρων ἄλλων Ἁγίων Ἀκολουθίαι, ἐξ ὀλίγων σωμάτων.
19 Ἀκολ. Ἁγ. Ἐλευθερίου Δβρίου 15
20 Ὁμιλία ὠφέλιμος περὶ Νηστείας
21 Ὁμιλία κατανυκτικὴ εἰς τὴν Ἁγίαν Μεταμόρφωσιν.

ΓΕΩΡΓΙΟΣ ΒΟΥΤΕΡΗΣ Ἱερεὺς
Ἐφημ. Ὁσίου Μελετίου οἰκία Ἀρ. 99 Α
Ἁγ. Μελετίου

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμικόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριον ἐκέκραξα ἱστῶμεν στίχους ς. Καὶ ψάλλομεν προσόμοια Ἦχος β'. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιων στέμμασι, στέψωμεν σὲ τὴν Ἁγίαν, τὴν βδελυξαμένην τὰ γήϊνα καὶ ἀσπασαμένην τὰ ἄφθαρτα, τὴν ὑπὲρ Χριστοῦ ἀναιρεθεῖσαν· τὴν νύμφην τοῦ Βασιλέως καὶ Θεοῦ ἡμῶν, τὴν πάσαν τῇ οἰκουμένῃ διαλάμπουσαν, περιστεράν τὴν Ἁγίαν ἣνπερ παστάδα προσεδέξατο οὐρανῶν, Χριστὸς ὁ Θεὸς ἡμῶν ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ἐγκωμιῶν ἄνθεσιν ἀναδήσωμεν τὴν ἀθλοφόρον, τὴν τοὺς δυσεβεῖς ἀπελέγξασαν, καὶ τὴν πλάνην πᾶσαν πατήσασαν καὶ εἰς οὐρανίους νῦν θαλάμους ἀξίως περισκιρτῶσαν καὶ χορεύουσαν, Τριάδα θελογοῦσαν τὴν πανταίτιον οὖν τοῖς ἁγίοις Ἀγέλοις ἧς ταῖς μεσιτείαις τοῖς τιμῶσιν αὐτὴν σεπτῶς. παράσχου ἡμῖν Χριστέ, εἰρήνην καὶ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν ῥήμασιν ἐπαινέσωμέν σὲ τὴν Ἁγίαν, καὶ παρθενομάρτυρα σήμερον τὴν Παρασκευὴν τὴν πανένδοξον τὴν τῆς δυσεβείας καταλύτην τὴν πάντας τοὺς φιλοσόφους καταπλήξασαν καὶ θράσος, τοῦ Ἀντωνίνου καταισχύνασαν καὶ τὸν Χριστὸν ἐν σταδίῳ μέσον ἀνομούντων, διαγγείλασαν εὐσταθῶς, Θεόν προαιώνιον καὶ ἄνθρωπον ἀναμάρτητον.

Ἕτερα προσόμ.

Ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος ! Παρασκευὴ ἡ σοφή, Ἀντωνίνου τὸ φρύαγμα, ἀνδρικῶς κατέβαλες προθύμως ἀναστήλασα καὶ τῶν βραβείων τῆς ἄνω κλήσεως. καὶ τῶν στεφάνων ἀξιωθεῖσα σεμνή, ὑπὲρ τῶν δούλων σου τῶν πιστῶς τιμώντων σέ, μνείαν ποιοῦ, πάντοτε πρὸς Κύριον ἐλεηθῆναι ἡμᾶς.

Μάρτυς τοῦ Χριστοῦ πανεύφημε ἡ τὸν Δεσπότην Χριστόν, ὁλοψύχως ποθήσασα τῶν βασάνων ἤνεγκας τὰς πληγὰς κατερώτατα· καὶ ξεομενη πλεράς ταῖς μάστιξιν, αἰκίας πάσας διὰ τὸν σὸν ἐραστὴν, κοθυπομένουσα, τῶν στεφάνων ἔτυχες τῶν παρ' αὐτοῦ. ὅθεν εὐφημοῦμέν σε Θεομακάριστε.

Ὁσιομάρτυς πανένδοξε τὶ ἐξισχύσει εἰπεῖν τῶν σῶν πόνων τὰ ἔπαθλα, καὶ τοῦ μαρτυρίου σου, τὰ ἀνδρεῖα τεράστια, ὑπομονήν τε καὶ τὴν πραότητα, ἣν ἀνεδέξω σε σεμνὴ ὡς ἄσαρκος ; ὅθεν συνόμιλος, τῶν Ἀγγέλων γέγονας, Παρασκευή, νύμφη τοῦ Παντάνακτος, σκεῦος τοῦ Πνεύματος.

Δόξα ἦχος πλ. β'.

Παρθενομάρτυς ἀθλοφόρε, Παρασκευὴ πανένδοξε τοὺς τὴν ἄθλησιν τὴν σὴν ἑορτάζοντας ἀξίως, αἴτησε ρυσθῆναι, πειρασμῶν καὶ θλίψεων

τΐας πρὸς Θεὸν πρεσβείαις σου καὶ τῆς μελλούσης κρίσεως. Μάρτυς παναοίδιμε.

Καὶ νῦν, Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδει φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ὑμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας τὰ Ἀναγνώσ. Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτησαν, καὶ εἰπάτωσαν, ἀληθῆ Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ Μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγὼ εἰμί· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔστε. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ὁ

Θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα, Κεφ. ε'. 15.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν· εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλοῦνται. καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης ποταμοὶ δὲ συγκλύσουσιν, ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλιμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κα-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΣΒΙΒΛΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

κοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε. δικασταὶ περάτων γῆς. ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν. καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν λιτὴν Ἦχ. Β'.

Πεῖραν εἰδωλικὴν τῇ ἐκχύσει τοῦ σοῦ αἵματος, ἐναπέσβεσας πανένδοξε, Παρασκευὴ καλλιπάρθενε, καὶ κατενέφρησας ξόανα, καὶ ἀνίδρυτα σεβάσματα, θεῷ ζήλῳ τὴν ψυχὴν ἀναφλεγομένη. Ὅθεν καὶ Θεὸν καθωμολόγησας, διὰ σπλάγχνα οἰκτιρμῶν, ἄνθρωπον γεγονότα, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, εἰς τὸ σῶσαι τὰ σύμπαντα.

Ὁ αὐτός.

Ἀγάλλονται σήμερον ἐπὶ τῇ θείᾳ σου μνήμῃ τῶν φιλεόρτων τὰ συστήματα, Παρασκευὴ πανένδοξε, ἀποδέξαντό σε· καὶ γὰρ οἱ Ἄγγελοι, τὴν ἐν ἀγνείᾳ ἰσάγγελον, οἱ δὲ μάρτυρες πάλιν τὴν συνάθλον ἀτρόμητον καὶ οἱ τοῦ λόγου Ἀπόστολοι τὴν ἰσαπόστολον καὶ χριστοκήρυκα. ἡμεῖς δὲ πλουτοῦντες ἰαμάτων σὲ πηγήν, γηθοσύνως βοῶμεν, πρέσβευε Παρασκευὴ πανεύφημε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, τὴν πανένδοξον καὶ χριστοκήρυκα Παρασκευὴν ὑμνῳδίαις εὐφημήσωμεν, αὕτη γὰρ τὰς ἀπηνεῖς καὶ φρικώδεις τοῦ μαρτίου βασάνους γενναιοφρένως ὑπομείνασα, παρέστη Χριστῷ πεφοινιγμένη τοῖς αἵμασι. Ταύτῃ οὖν ἐκβοήσωμεν Χαίροις Παρασκευὴ μεγαλώνυμε, Νύμφη τοῦ Παντάνακτος. καὶ ὑπὲρ ἡμῶν τῶν τὴν σὴν παναγίαν ἄθλησιν, ἐν πίστει ἐκτελούντων, πρέσβευε Χριστῷ τοῦ αἰωνίου πυρὸς ῥυσθῆναι.

Δόξα ἦχος δ'. Παράκ. Λειμωναρίου.

Δοξάζομέν σου Χριστέ, τὴν πολλὴν εὐσπλαγχνίαν καὶ τὴν ἀγαθότητα, τὴν εἰς ἡμᾶς γενομένην· ὅτι καὶ γυναῖκες κατήργησαν τὴν πλάνην τῆς εἰδολομανίας, δύναμει τοῦ Σταυροῦ σου φιλάνθρωπε· τύραννον οὐκ ἐπτοήθησαν τὸν δόλιον κατεπάτησαν ἴσχυσαν δὲ ὀπίσω σου ἐλθεῖν, εἰς ὄσμὴν μύρου σου ἔδραμον, πρεσβεύουσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου. Εἰς τὸν Στίχ. Στιχηρὰ προσ. Ἦχ. πλ. ά. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Παρασκευὴ ἡ σοφή, τῶν ἀθληφόρων τὸ σεπτὸν ἐγκαλλώπισμα· τὸν τούτων γὰρ σχοῦσα ζῆλον καὶ πίστιν τὴν ἀρραγῆ ἀνδρικοῖς ἀγῶσι προσεχώρησας λαμπρὰ τε παλέσματα, καὶ λαμπρότερα τρόπαια, ἤγειρας ὄντως κατ' ἐχθρῶν τῶν τῆς πίστεως καὶ ἀλάστορος τοῦ δεινοῦ πολεμήτο-

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ Γ. ΤΣΟΡΤΖΗ ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΔΑΚΗΣ

ρος τούτους κατατροπώσασα, εἰς τὸ τέλος καὶ παίγνιον, δείξασα τούτους καὶ μόνον τὸν σὸν Χριστὸν μεγαλύνασα αὐτὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. καὶ κατεύθυνε τὰ διαβήματά μου

Χαίροις Παρασκευὴ ἐκλεκτὴ ἡ τῇ ἀθλήσεως τῇ λαμπρᾷ σου προσάγουσα πληθὺν τῷ Χριστῷ Ὁσία, τῶν ἀσεβῶν τοῖς φρικτοῖς, τοῖς ἐνσημείοις τε καὶ τέρασι, τὸ πῦρ μεταβάλλουσα δροσισμὸν εἰς ἀνέκφραστον, καὶ λυμεῶνα τὸν δεινὸν θανατώσασα, τῷ σημείῳ τε τοῦ Σταυροῦ, καὶ τῇ χάριτι, ἅπασαν ἐκτεφρώσασα ἐχθρῶν τὴν παράταξιν, τοὺς σπαραγμούς, καὶ διττὴν τὲ ὑπενεγκοῦσα κατάφλεξιν, καὶ ξίφει τμηθεῖσα πᾶσι δοῦναι ἡμῖν αἴτε τὸ μέγα ἔλεος.

Στιχ Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι

Χαίροις Παρασκευὴ ἡ σοφὴ τῶν δεομένων ἀσφαλὲς καταφύγιον, ἁπάντων τῶν ἐν ἀνάγκαις παραμυθία τερπνή, καὶ ἡμῶν προστάτις ἀκαταίσχυντος· τὸ τεῖχος τὸ ἄρρηκτον, σκέπη πύργος ἀκράδατος, τῶν κλονουμένων, καὶ θερμῶς προσιόντων σοι τὸ ἀκένωτον, ἰαμάτων τὸ πέλαγος ἅπαντας κοταρδεύουσα, πηγὴ ἡ ἀείρρυτος, θαυμάτων μάρτυς καὶ κῆρυξ Χριστοῦ χρηματίσασα, ἵν νῦν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα Ἦχος πλ. β'.

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὴν Χριστοῦ Παρθενομάρτυρα εὐφημήσωμεν λέγοντες. Χαίροις, Παρασκευὴ Ὁσία καὶ θεοτίμητε. Χαίροις ἡ τὸ μαρτύριον καλῶς ὑποδεξαμένη Χαίροις τῶν Μαρτύρων ἰσοστάσιε, καὶ τῶν Ὁσίων ὁμόσκηνε. μεθ' ὧν ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχας ἡμῶν.

Καὶ νῦν. Θεοτοκ. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. Ἀπολυτίκιον ἦχος ά.

Τὴν σπουδὴν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φέρώνυμε τὴν ὁμώνυμόν σου πίστιν εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ ἀθληφόρε. ὅθεν προχέεις. ἰάματα καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα Ἦχος γ'. Τὴν ὡραιότητα

Η θαυματόβρυτος εἰκὼν τῆς Μάρτυρος, προχέει ἅπασι, χύδην τῆς χάριτος Καὶ ὑπανσέβαστος Ναὸς πηγὰς ἰάσων βρυει Ὅθεν μετὰ πίστεως θερμοτάτης προσέλθωμεν, καὶ καταπαύσωμεθα, ἀθληφόρου ἐκτυπωμα Ἀπαλλαγὴν τῶν νόσων αἰτοῦντες, καὶ τῶν δεινῶν τὴν ἀπολύτρωσιν.

Καὶ νῦν Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε Ἐν

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ ΕΚΔΟΤΗΡΙΟ ΠΑΠΑΓΕΩΡΓΙΑΤΟΣ

τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προληφθήσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξόμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολ. Κάθισ. Ἦχ. α'. Τὸν τάφον σου.

Ὡς ἄμωμος ἀμνὰς καὶ ἄγνὴ τῷ Κυρίῳ τοῖς ἴχνεσι τοῦ σου ἐραστοῦ ἑπομένη, προθύμως ἐζήλωσας τὸν ἐκείνου σὺ θάνατον· ὅθεν ἔτυχες, τῆς οὐρανίου παστάδος, στέφος ἄφθαρτον, περικειμένη ἀξίως καὶ δόξαν ἀμάραντον.

Δόξα Ὅμοιον

Ὡς νύμφη τοῦ Χριστοῦ καλλιπάρθενε Μάρτυς. συνήφθης μυστικῶς, ἐν σεμνότητι βίου. τῷ κάλλει τῆς ἀθλήσεως σεαυτὴν ὡραΐσασα· ὅθεν εἴλληφας τῶν ἰαμάτων τὴν χάριν, ἰατρεύουσα τὰ ἀρρωστήματα πάντα, δυνάμει τοῦ Πνεύματος.

Καὶ νῦν. Θεοτοκίον

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν βίου τοῖς πίστει καὶ πόθῳ ἀεὶ σὲ δοξάζουσιν.

Μετὰ τὴν β'. Στιχολ. Ἦχ. δ' Ὁ ὑψωθείς.

Τὸν ὡραιότατον Χριστὸν ἀγαπήσασα, Παρα-

σκευὴ παρθενομάρτυς Ὁσία τοὺς προσιόντας εὐλαβῶς τῇ κάρα σου, ῥύσαι παναοίδιμε τούτους πάσης ἀνάγκης πάσης περιστάσεως, καὶ κινδύνων παντοίων καὶ οὐρανῶν ἀξίωσον τυχεῖν, τῆς βασιλείας μαρτύρων ἀγλάϊσμα.

Δόξα Ὅμοιον.

Τῷ ἀθανάτῳ Βασιλεῖ ἀγαπήσασα, καὶ δι' ἁγνείας τὴν ψυχὴν ὡραΐσασα, διά παντοίων πόνων τε θλίψεων, τούτῳ καταγγύησαι, ὥσπερ ἄμωμος νύμφη· ὅθεν σὲ ἠξίωσεν οὐρανίων θαλάμων ὑπὲρ ἡμῶν πρεσβεύουσα αὐτῷ τῶν σὲ τιμώντων Παρασκευὴ πανεύφημε.

Καὶ νῦν Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε τὰς δυναστείσου λαλεῖν οἱ ἄναξιοι Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοιούτων κινδύνων; τίς δὲ διαφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ; σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντείον δεινῶν.

Μετὰ τὸν Πολυέλ. Κάθισ. Ἦχ. δ'. Κατεπλάγη Ἰωσήφ

Παρασκευὴ μάρτυς Χριστοῦ ἀνευφημοῦμεν σε πιστοί, ὅτι τὸν τυραννον ἐχθρόν θείᾳ δυνάμει τοῦ Σταυροῦ σοῦ τοῖς ποσὶ κατεπάτησας γενναιοφρονως, καὶ γέγονας ἡμῖν ἀνδρεία πίστεως, πᾶσαν τοῦ ἐχθροῦ τὴν δύναμιν,· καὶ οὐρανόθεν ἔλαβες τὸν στέφανον, τῇ κορυφῇ σου ἀοίδιμε· Χριστὸν

ΕΚΠΑΙΔΕΥΤΗΡΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΗΡΗΤΟΡΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

δυσώπει, σωθῆναι πάντας τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Δόξα Ὅμοιον.

Κατεπλάγη ἀληθῶς ὁ δεσμενέστατος ἐχθρός, τὴν ἀνδρείαν θεωρῶν καὶ καρτερίαν τὴν ἐν σοί, Παρασκευὴ σαπόστολε ἀθλητοφόρε. Σῶμα δοῦσα σόν, εἰς κατάφλεξιν, δράκοντι δεινῷ προσπαλαίσασα, καὶ ἀπωλείᾳ ταῦτον παραδοῦσα, τοὺς θεωροῦντας ἐξέπληξας λαμπρῶς βοῶντας. μεγάλη ὄντως, ἡ Χριστοῦ πιστις καὶ δύναμις.

Καὶ νῦν Θεοτοκ.

Η παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, τὰς οὐρανίους στρατίας, φωταγοῦσα θαυμαστῶς, αὐγαζομένη τῷ κάλλει τῷ ἀπροσίτῳ λυτροῦται καὶ ἡμᾶς, τῶν ψυχοφθόρων παθῶν καὶ πάντων, τῶν δεινῶν ὡς προστασία ἡμῶν, ἣν μετὰ δέους εὐφημοῦμεν εὐσεβόφρονως βοήσωμεν Θεοκυήτορ, Ἀγγέλων δόξα σὺ ὑπάρχεις πανάμωμε.

Οἱ ἀναβαθμοι τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἦχου. Προκείμενον Ἦχος δ'. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Στιχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Πᾶσα πνοή

Εὐαγγέλιον ἐκ του κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήτω

μοι Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδίσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ; ἢ τίς δώσε ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθε ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν Ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πράξιν αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν, Εἰσὶ τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἴδωσιν τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμε ον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Ὁ Ν. Δόξα. Ταῖς τῆς ἀθληφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτοκου. Εἶτα ἐλέησόν με ὁ Θεὸς κτλ. Ἦχ. πλ. β'.

Εκ δεξιῶν τοῦ Σωτῆρος παρέστη ἡ Παρθένος, καὶ ἀθληφόρος καὶ μάρτυς περιβεβλημένη ταῖς ἀρεταὶς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ καὶ βοῶσα πρὸς αὐτόν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα· εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστὲ ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ, μὴ χωρήσῃς με Νυμφίε ἐπουράνιε, αὐτῆς ταῖς ἱκεσίαις, κατάπεμψον ἡμῖν παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου; Κύριε ἐλέησον ιβ'
Οἱ κανόνες τῆς Θεοτόκου καὶ Ἁγίας
Ἦχ. δ'. (Καταβασία)

ΙΕΡΑ ΜΟΝΗ ΑΡΧΑΓΓΕΛΟΥ ΜΙΧΑΗΛ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΔΑΚΗΣ

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι. τῇ βασιλίδι Μητρί. καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων καὶ ἄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Τῆς Ἁγίας

Ὠδὴ ά, ἦχ. δ'. Θαλάσσης τὸ ἐρυθροῖον.

Ὑμνοῦσι τὴν φωτοφόρον μνήμην σου, μάρτυς, πανεύφημε, χάριν δοθῆναι αἴτησαι ἡμῖν, καὶ καὶ πταισμάτων τὴν ἄφεσιν Παρασκευὴ ἀοίδιμε, ταῖς πρὸς τὸν Κύριον δεήσεσιν.

Μαρτύρων σὺ καλλονὴ ἀνέφηνας, τὰς τοῦ ἐχθροῦ μηχανάς, καταλαβοῦσα ὅπλῳ τοῦ Σταυροῦ, καὶ τυράννων ὠμότητα, ἀθλητικῶς παλαίσασα, θεοσεβῆ πίστιν ἐκήρυξας.

Δόξα Πατρί.

Νομίσας τῆς καρτερίας λύειν σου Μάρτυς τὸ εὔτονον, ὁ τοῖς ξάνοις τύραννος δεινῶς, ἀπονέμων προσκύνησιν· ἀλλὰ σοφοῖς σου ῥήμασιν τούτου τὸ θράσος ἅπαν λέλυται. Καὶ νῦν

Ὁ Λόγος ἐκ τῶν ἀχράντων δέσποινα, αἱμάτων τίκτεται, ἐμψυχωμένην σάρκα εἰληφώ, καὶ ἡμεῖς ὁληθήσαντες ἀπαταιῶνος δήγμασι, τῷ θείῳ κράτει ἀνεπλάσατο.

Ὠδὴ γ'. Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή. θίασον συγκρατήσαντας, πνευματικὸν στερέωσον ἐπὶ τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον. Ἁγία τοῦ Θεοῦ

Ενείρου τὸ ἀσθενές, τὸ θεῖον Πνεῦμα καί φαιδρὸν δέδειχεν, ἐξεικονίζον ἀριστα τῆς σῆς ἀκραιφνοῦς ψυχῆς ἔλλαμψιν.

Ρωσθεῖσα σθένει Χριστοῦ, τὰς τῶν βουνεύσαν ἀφειδῶς μάστιγας μάρτυς Χριστοῦ ὑπέφερες διά, τις ἀδάμας στερρότατος. Δόξα

Ἀγάπῃ τῇ πρὸς Θεόν, ἐν τῷ σταδίῳ καρτερῶς ἤνεγκας τὸν σκορπισμὸν τοῦ σώματος. καὶ τορῷ ἀνυπίστους πικροὺς αἰκισμούς. Καὶ νῦν.

Σὺ μόνη, τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦγέγονος· ὅθεν σοι τὸν χαῖρε κραυγάζομεν.

Κάθισμα ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Ἐκ σπαραγάνων μητρώων σὺ τῷ Χριστῷ ἀνετέθης ὡς Μάρτυς διηνεκῶς, αὐτῷ εὐηρέστησας τῷ Σωτῆρι τῶν ὅλων, καὶ τυράννων τὰ θράση στερρῶς κατεπάτησας, καὶ βασάνους ὄντως ἀνδρείως ὑπέμεινας Ὅθεν ὁ Χριστός σοι, τοὺς στεφάνους κοσμίσας ἐνδόξως ἡτοίμασεν εἰς νυμφῶνα οὐράνιον, Παρασκευὴ ἀξιάγαστε. Πρέσβευε Χριτῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν Θεοτοκ.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΚΔΟΤΩΡΗΣ ΠΑΠΑΔΗΜΑΣ

ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις τὸν Κτίστην καὶ Κύριον ὅθεν, τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος ἀξίως δοξάζομεν τὸν πανάγιον τόκον σου, καὶ συμφώ ὡς βοῶμέν σοι. πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς προκυνοῦσιν ἐν πίστει, τὸν ἄσπορον τόκον σου.

Ὠδὴ δ'. Καταβασία

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως. σοῦ τοῦ ὑψίστου, ὁ προφήτης Ἀββακοὺμ, κατανοῶν, ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε. Ἁγία τοῦ Θεοῦ.

Ἰαμάτων ἐν τυχοῦσα καὶ χαρισμάτων, καὶ ὀπτασίας ἔνδοξε, τὰς θείας πηγάζεις χαριτας ἐκάστοτε τοῖς πίστει γεραίρουσι καὶ τῷ σῷ λιμένι προστρέχουσι.

Ῥοτίδα ὄντως καὶ σπίλον μηδόλως σχοῦσα ἁγιασμὸν τεσώματος ἐπικτησαμένη. Ἀγγέλους τεθέασαι μεθ' ὧν ἐκραύγαζες· δόξα τῇ δυνάμει σου Κύριε. Δόξα πατρί.

Ὦ, ἀκατάληπτον σημεῖον. φρικτῆς ἡμέρας, τοῦ σωτηρίου πάθος γὰρ ἐξεικονοθείσης, γυναικείῳ σώματι, Σταυρὸν τε καὶ κάλαμον, στέφανον καὶ σπόγγον τεθέασαι Θεοτοκ.

Ἀπειραγάμως ἐκύησας ὦ Παρθένε καὶ μετὰ τόκον ὤφθης παρθενεύσα πάλιν ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρε σοι Δέσποινα πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Καταβασία.

Ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θεία δόξῃ σου· σὺγὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι, τοῖς ὑμνοῦσί σε σωτηρίαν βραβεύουσα.

Τῆς Ἁγίας. Σὺ Κύριέ μου.

Ἠγώνισας σεμνή, καὶ τὸν τύραννον ἔκτεινας, ῥητορεύσεσι ταῖς πανσόφοις, πρὸ βημάτων ἀτρόμων, τὸν Χριστὸν καταγγέλλουσα.

Νοῦν ἔχουσα στερρόν, ἀηττήτῳ φρονήματι, κατήσχυνας τῶν εἰδώλων τὰ σεβάσματα πάντα, γραφικαῖς ἀποδείξεσι. Δόξα Πατρί.

Παστάδος νοητῆς, καὶ νυμφῶνος ἁγίασμα, χορεύουσα σὺν Παρθένοις, ταῖς φρονίμοις ἐνθέως Παρασκευὴ κοίδιμε. Θεοτοκ

Σὲ ὅπλον ἀρραγὲς κατ' ἐχθρῶν προβαλλόμεθα. σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς σωτηρίας Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Καταβ.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς θεομήτορος, δεῦτε τ ς